# TEZAUR LITURGIC

**7 SEPTEMBRIE**

**HARALAMBOS BOUSIA**

# SLUJBA SF.MUCENIC SOZONT DE LA CILICIA

**ATENA,2010**


ΑΠΟΣΤΟΛΙΚΗ ΔΙΑΚΟΝΙΑ
ΤΗΣ ΕΚΚΛΗΣΙΑΣ ΤΗΣ ΕΛΛΑΔΟΣ

# 08 ΟΚΤΩΒΡΙΟΥ

## ΜΝΗΜΗ ΤΟΥ ΑΓΙΟΥ ΜΑΡΤΥΡΟΣ ΣΩΖΟΝΤΟΣ ΚΑΙ ΑΝΑΜΝΗΣΙΣ ΤΩΝ ΕΛΕΥΘΕΡΙΩΝ ΤΗΣ ΝΗΣΟΥ ΛΗΜΝΟΥ

## ΑΚΟΛΟΥΘΙΑ

**Ποίημα Δρος. Χαραλάμπους Μ. Μπούσια**

### ΕΣΠΕΡΙΝΟΣ

Μετά τον Προοιμιακόν, το Μακάριος ανήρ. Εις δε το Κύριε εκέκραξα, ιστώμεν στίχους η’ , και ψάλλομεν τα εξής Προσόμοια.

Ήχος δ’ . Ως γενναίον εν Μάρτυσι.

Ως προστάτην και πρόμαχον, και θερμόν αντιλήπτορα, η εν τω Αιγαίω πελάγει μέλπουσα, νήσος της Λήμνου η πάγκαλος, σε Σώζον πανεύφημε, μελωδήμασι τερπνοίς, εορτήν και πανήγυριν, πανευφρόσυνον, άγει σήμερον και τω Ζωοδότη, πέμπει αίνεσιν και δόξαν, τω σε ισχύϊ πληρώσαντα.

Των Λημνίων οι σύλλογοι, οι φιλέορτοι σήμερον, μνήμην την του Σώζοντος την ακήρατον, πανηγυρίζοντες άδουσιν, ωδήν χαριστήριον, τω παντάνακτι Θεώ, ότι πάντας απήλλαξεν, αγαθότητι, της Αυτού και του Μάρτυρος πρεσβείαις, τους οικούντας εν τη νήσω, εκ της απίστου δουλώσεως.

Την τυράννων κακόνοιαν, παραδόξως ενίκησας, θώρακα της πίστεως ενδυσάμενος, και ολοθύμως ενήθλησας, Μαρτύρων

αρχέτυπον, Σώζον όθεν σιδηρά, υπεδύθη γηθόμενος, υποδήματα, και ξεόμενος έδραμες χωρήσαι, Αθλητών ταις συστοιχίαις, εις τα ουράνια δώματα.

Ώσπερ δώρον πολύτιμον, των λειψάνων την θήκην σου, νήσος η της Λήμνου καθυπεδέξατο, και εν χαρά ανακράζει σοι, συν δάκρυσιν· ένδοξε, Σώζον Μάρτυς του Χριστού, πως τολμήσω υμνήσαί σε, τον προστάτην μου; συ γαρ πάντας αεί καθαγιάζεις, τους εν πίστει προσκυνούντας, τα σα υπέρτιμα λείψανα.

Κιβωτόν αγιάσματος, μυστικήν άλλην κέκτηνται, οι Λημνίων δήμοι Μαρτύρων άριστε, τον θησαυρόν των Αγίων σου, λειψάνων πανεύφημε, Σώζον τούτων αρωγέ, και αυτοίς νυν προσπίπτουσα, αγιάζεται, και αφθόνους κομίζεται ιάσεις, λυτρουμένη εκ παντοίων, νόσων ψυχής τε και σώματος.

Εν τη πέτρα της πίστεως, του Κυρίου πηξάμενος, βίου τον οίκον θεομακάριστε, Σώζον στερρόν αλεξίνεμον, απίστων γεγένησαι, και των ειδωλομανών, τους στροβίλους απέκρουσας, θεία χάριτι, δια τούτο τιμώντές σου την μνήμην, ευφημούμέν σου τους πόνους, δια Χριστόν ους υπήνεγκας.

Εν κοιλάσι και όρεσι, την σην ποίμνην εποίμανες, της Λυκαονίας βλαστέ θεόφυτε, και ιλαρότητι βλέμματος, πραότητι πνεύματος, και ηδύτητι ψυχής, ευσεβείας τα ρήματα, διεκήρυττες, μετερχόμενος έργον και ποιμένος, άμα Σώζον των ανθρώπων, των εν δρυμοίς υπαντώντων σε.

Αρραγέστατε πρόβολε, των Λημνίων και άσειστον, της ελευθερίας ημών προπύργιον, ο την ομίχλην δουλώσεως, σκεδάσας και θλίψεως, μεσιτεία σου θερμή, προς ριστόν τον παντάνακτα, ελευθέρωσον, εκ δουλείας δεσμών του μισοκάλου, παμμάκαρ Σώζον την μνήμην σου.

Δόξα. Ήχος β’ .

Δεύτε οι των Λημνίων δήμοι, εν τη φαιδροτάτη της ελευθερίας ημέρα, τιμήσωμεν τον πρόξενον ταύτης, και προστάτην της νήσου, αήττητον Μάρτυρα Σώζοντα. Ούτος γαρ ως καλός οπλίτης, επί των επάλξεων περιφερόμενος, Αγαρηνούς τους απίστους εξεδίωξε, τον ζόφον των θλίψεων, πόρρω αποδιώκων τάχιστα. Αυτόν ουν τιμώντες,και των αυτού λειψάνων, την θήκην ασπαζόμενοι, την άρτι υποδεχθείσαν, και ως όλβον θείον φυλαττομένην ώδε, τας προς Κύριον λιτάς αυτού εκζητήσωμεν.

Και νυν. Θεοτοκίον.

Παρήλθεν η σκια του νόμου, της χάριτος ελθούσης· ως γαρ η βάτος ουκ εκαίετο καταφλεγομένη, ούτω παρθένος έτεκες, και παρθένος έμεινας, αντί στύλου πυρός,δικαιοσύνης ανέτειλεν Ήλιος, αντί Μωϋσέως Χριστός, η σωτηρία των ψυχών ημών.

Είσοδος. Φως ιλαρόν. Προκείμενον της ημέρας και τα Αναγνώσματα.

Σοφίας Σολομώντος το Ανάγνωσμα (Κεφ. ι , 9-21)

Σοφία τους θεραπεύσαντας αυτήν εκ πόνων ερρύσατο. Αύτη φυγάδα οργής αδελφού δίκαιον ωδήγησεν εν τρίβοις ευθείαις,

έδειξεν αυτώ βασιλείαν Θεού και έδωκεν αυτώ γνώσιν αγίων. Ευπόρησεν αυτόν εν μόχθοις και επλήθυνε τους πόνους αυτού, εν πλεονεξία κατισχυόντων αυτόν παρέστη και επλούτισε αυτόν, διεφύλαξεν αυτόν από εχθρών, και από ενεδρευόντων ησφαλίσατο και αγώνα ισχυρόν εβράβευσεν αυτώ, ίνα γνω, ότι παντός δυνατοτέρα εστίν ευσέβεια. Αύτη πραθέντα δίκαιον ουκ εγκατέλιπεν, αλλά εξ αμαρτίας ερρύσατο αυτόν, συγκατέβη αυτώ εις λάκκον και εν δεσμοίς ουκ αφήκεν αυτόν, έως ήνεγκεν αυτώ σκήπτρα βασιλείας και εξουσίαν τυραννούντων αυτού, ψευδείς τε έδειξε τους μωμησαμένους αυτόν και έδωκεν αυτώ δόξαν αιώνιον. Αύτη λαόν όσιον και σπέρμα άμπεμπτον ερρύσατο εξ έθνους θλιβόντων. Εισήλθεν εις ψυχήν θεράποντος Κυρίου και αντέστη βασιλεύσι φοβεροίς εν τέρασι και σημείοις, απέδωκεν οσίοις μισθόν κόπον αυτών, ωδήγησεν αυτούς εν οδώ θαυμαστή και εγένετο αυτοίς εις σκέπην ημέρας και εις φλόγα άστρων την νύκτα. Διεβίβασεν αυτούς θάλασσαν ερυθράν και διήγαγεν αυτούς δι' ύδατος πολλού,τους δε εχθρούς αυτών κατέκλυσε και εκ βάθους αβύσσου ανέβρασεν αυτούς. Δια τούτο δίκαιοι εσκύλευσαν ασεβείς και ύμνησαν Κύριε, το όνομα το άγιόν σου, την τε υπέρμαχόν σου χείρα ήνεσαν ομοθυμαδόν, ότι η σοφία ήνοιξε στόμα κωφών και γλώσσας νηπίων έθηκε τρανάς.

Σοφίας Σολομώντος το Ανάγνωσμα. (γ΄ 1-9).

Δικαίων ψυχαί εν χειρί Θεού, και ου μη άψηται αυτών βάσανος. Έδοξαν εν οφθαλμοίς αφρόνων τεθνάναι, και ελογίσθη κάκωσις η

έξοδος αυτών, και η αφ  ἡμῶν πορεία σύντριμμα· οι δε εισιν εν ειρήνη. Και γαρ εν όψει ανθρώπων εάν κολασθώσιν, η ελπίς αυτών αθανασίας πλήρης. Και ολίγα παιδευθέντες, μεγάλα ευεργετηθήσονται· ότι ο Θεός επείρασεν αυτούς, και εύρεν αυτούς αξίους εαυτού. Ως χρυσόν εν χωνευτηρίω εδοκίμασεν αυτούς, και ως ολοκάρπωμα θυσίας προσεδέξατο αυτούς. Και εν καιρώ επισκοπής αυτών αναλάμψουσι, και ως σπινθήρες εν καλάμη διαδραμούνται. Κρινούσιν έθνη, και κρατήσουσι λαών, και βασιλεύσει αυτών Κύριος εις τους αιώνας. Οι πεποιθότες επ αὐτόν, συνήσουσιν αλήθειαν, και οι πιστοί εν αγάπη προσμενούσιν αυτώ· ότι χάρις και έλεος εν τοις οσίοις αυτού, και επισκοπή εν τοις εκλεκτοίς αυτού.

Σοφίας Σολομώντος το Ανάγνωσμα.(ε΄15-23, στ΄1-3).

Δίκαιοι εις τον αιώνα ζώσι, και εν Κυρίω ο μισθός αυτών, και η φροντίς αυτών παρά Υψίστω. Δια τούτο λήψονται το βασίλειον της ευπρεπείας, και το διάδημα του κάλλους εκ χειρός Κυρίου· ότι τη δεξιά αυτού σκεπάσει αυτούς, και τω βραχίονι υπερασπιεί αυτών. Λήψεται πανοπλίαν τον ζήλον αυτού και οπλοποιήσει την κτίσιν εις άμυναν εχθρών. Ενδύσεται θώρακα δικαιοσύνην και περιθήσεται κόρυθα κρίσιν ανυπόκριτον. Λήψεται ασπίδα ακαταμάχητον, οσιότητα· οξυνεί δε απότομον οργήν εις ρομφαίαν. Συνεκπολεμήσει αυτώ ο κόσμος επί τους παράφρονας· πορεύσονται εύστοχοι βολίδες αστραπών, και ως από ευκύκλου τόξου, των νεφών, επί σκοπόν αλούνται, και εκ πετροβόλου θυμού

πλήρεις ριφήσονται χάλαζαι. Αγανακτήσει κατ  αὐτῶν ύδωρ θαλάσσης· ποταμοί δε συγκλύσουσιν αποτόμως. Αντιστήσεται αυτοίς πνεύμα δυνάμεως, και ως λαίλαψ εκλικμήσει αυτούς, και ερημώσει πάσαν την γην ανομία, και η κακοπραγία περιτρέψει θρόνους δυναστών. Ακούσατε ουν, Βασιλείς, και σύνετε· μάθετε Δικασταί περάτων γης· ενωτίσασθε οι κρατούντες πλήθους, και γεγαυρωμένοι επί όχλοις εθνών· ότι εδόθη παρά Κυρίου η κράτησις υμίν, και η δυναστεία παρά Υψίστου.

Εις την Λιτήν. Ήχος α’ .

Τις ουκ ευφραίνεται πνευματικώς, και ουκ αγαλλιάται, επί τη ενδόξω μνήμη του νεαρού βοσκού, και παναρίστου αθλητού Σώζοντος; Ούτος γαρ υπελθών τον ελαφρόν ζυγόν του Κυρίου, ευψυχία πολλή ηφάνισε των ειδώλων την πλάνην, και ευσεβούντας εκράτυνε. Και νυν βραβεία της δόξης δεξάμενος, μετά πάντων των Αγίων αγάλλεται εν πόλω, πρεσβεύων υπέρ της σωτηρίας των ψυχών ημών.

Ήχος β’ .

Μαρτύρων ο αριστεύς Σώζων ο πανένδοξος, τον Σταυρόν του Κυρίου αράμενος, ποικίλους αικισμούς ανδρικώτατα υπήνεγκε. Καταργήσας ουν ειδώλων την πλάνην, της ευσεβείας το κράτος ετράνωσε, και της ατελευτήτου ευφροσύνης, κοινωνός γέγονε. Αυτού τη μεσιτεία και χάριτι προστρέχουσα, η εν Λήμνω Εκκλησία γάνυται,Χριστόν μεγαλύνουσα τον αυτόν δοξάσαντα.

Ήχος γ’ .

Την ομολογίαν ωμολογήσας, ενώπιον δυσσεβών τυράννων, Σώζον παναοίδιμε, όθεν ως γενναίον Χριστού στρατιώτην, υμνούμέν σε φαιδρώς εορτάζοντες, την αγίαν μνήμην σου.

Ήχος δ’ .

Όλω νοΐ, Χριστώ ατενίζων, ώσπερ άλλου πασχοντος, τους παντοειδείς κολασμούς, τους πόνους και τα άλγη της σαρκός ήνεγκας, Σώζον πανάριστε. Και σιδηρά υποδηθείς υποδήματα, έδραμες χωρήσαι γηθόμενος, ταις αθλητών χορείαις, της αφθαρσίας την στολήν αμφιασάμενος. Και νυν συνών Αγγέλοις, Χριστόν ημίν ίλεως ποίησον, και την σε γεραίρουσαν νήσον Λήμνον, διάσωζε από δουλείας του πολεμήτορος.

Δόξα. Ο αυτός.

Η εν Λήμνω Εκκλησία, τα αγαθά της ελευθερίας εν Χριστώ καρπουμένη, σοι αίνον προσάγει Σώζον στερρόψυχε. Μακροχρονίου γαρ δουλείας λυτρώσας αυτήν, ευημερίας και ελευθερίας ημέραν, παμφαή αυτή ανέτειλας. Μη παύση ουν σημειοφόρε Μάρτυς, πρεσβεύειν προς Κύριον καταπέμψαι ημίν, το αυτού μέγα και αμέτρητον έλεος.

Και νυν. Θεοτοκίον.

Εκ παντοίων κινδύνων τους δούλους Σου φύλαττε, ευλογημένη Θεοτόκε, ίνα Σε δοξάζομεν, την ελπίδα των ψυχών ημών.

Εις τον στίχον. Ήχος πλ. α’ . Χαίροις ασκητικών.

Χαίροις, των Αθλητών η βολίς, ποιμήν προβάτων και αμνών ιλαρώτατε, ρομφαία η οξυτάτη, των εις αψύχους θεούς, πιστευόντων πλάνων και το σύντριμμα, χρυσέος αγάλματος, ειδωλείου στερρόψυχε, θεόφρον Σώζον, δένδρον πίστεως πάγκαρπον, και κυπάρισσε εν Χριστώ γενναιότητος, φύλαττε και διάσωζε, εκ πάσης κακώσεως, δαιμονικής επηρείας, κινδύνων πόνων και θλίψεων, τους σοι προσιόντας, και τιμώντας επαξίως, την σην ενάθλησιν.

Στ.: Θαυμαστός ο Θεός, εν τοις Αγίοις Αυτού.

Χαίροις, ο υπομείνας ξεσμούς, αικίας χλεύην ζοφεράν τε μαστίγωσιν, δι’ ήλων οξέων τρήσιν, των σων τιμίων ποδών, εξαναγκασθέντων τρέχειν τάχιστα, και θραύσιν οστέων σου, καρτερώς υπέρ πίστεως, Λυκαονίας, τιμαλφέστατον έκθρεμμα, Σώζον πάντιμε, ευψυχίας υπόδειγμα, δώρον σαυτόν προσήνεγκας, Χριστώ τω Παντάνακτι,και λογικόν ιερείον, διο απαύστως υμνούμέν σε, δεόμενοι· σπεύσον, δυσωπείν υπέρ των πόθω, μεγαλυνόντων σε.

Στ.: Τοις Αγίοις τοις εν τη γη Αυτού, εθαυμάστωσεν ο Κύριος.

Χαίροις, ο των Λημνίων φρουρός, θερμός προστάτης αντιλήπτωρ και πρόμαχος, ο ρύστης εκ πανωδύνων, και αλγεινών συμφορών, και ελευθερίας θείος πρόξενος, Μαρτύρων αγλάϊσμα, Σώζον φως εκλαμπρότατον, της ευσεβείας, και λαμπτήρ γενναιότητος, τη ση χάριτι, καθ’ εκάστην προστρέχομεν, συ γαρ αχλύν διέλυσας,

δουλείας και έσωσας, εκ των της Άγαρ εκγόνων, την νήσον ταύτην την σπεύδουσαν, τας σας ικεσίας, χαριστήριόν σοι αίνον, ασμένως μέλπουσαν.

Δόξα. Ήχος πλ. β' .

Ησύχως βόσκων την ποίμνην σου, και των του Ευαγγελίου αρχών μη επιλαθόμενος, προέκρινας αθλητικώς τελέσαι τον βίον σου, Σώζον μακάριε. Συντρίψας γαρ ειδωλείου το άγαλμα, σιδηρά υπεδύθης υποδήματα, φέροντα ήλους οξείς, και ηναγκάσθης τρέχειν, ωσεί δρομεύς εν τω σταδίω, αγλαΐας ουν νίκης δρεψάμενος, παρρησίαν εύρες προς Κύριον, πρεσβεύειν υπέρ της ελευθερίας, της νήσου ταύτης, και σωτηρίας των ψυχών ημών.

Και νυν. Θεοτοκίον.

Θεοτόκε Συ ει η άμπελος η αληθινή, η βλαστήσασα τον καρπόν της ζωής, Σε ικετεύομεν, πρέσβευε Δέσποινα, μετά του Αθλοφόρου, και πάντων των Αγίων, ελεηθήναι τας ψυχάς ημών.

Νυν απολύεις. Τρισάγιον.

Απολυτίκιον. Ήχος δ' . Ταχύ προκατάλαβε.

Μαρτύρων αγλάϊσμα, επιστασία τη ση, Λημνίους διέσωσας, εκ της δουλείας δεσμών, αεί τους τιμώντάς σε, έχοντες γαρ ως όλβον, τιμαλφή των λειψάνων, θήκην σου την αγίαν, ανακράζομεν· Μάρτυς, ημάς εκ δυσμενούς απειλής, Σώζων διάσωζε.

Δόξα. Όμοιον.

Αιμάτων σου ρεύμασι, την σην λαμπρύνας στολήν, προς δόμους ανέδραμες, αφθίτου δόξης Χριστώ, πρεσβεύειν αείποτε, Σώζον

υπέρ των πίστει, σε Λημνίων τιμώντων,θείού σε ως προστάτην, και λειψάνων την θήκην, δι' ων κατεπλουτίσθημεν νυν, ασπαζομένων σου.

Και νυν. Θεοτοκίον.

Το απ' αιώνος απόκρυφον, και Αγγέλοις άγνωστον μυστήριον· δια σου Θεοτόκε τοις επί γης πεφανέρωται, Θεός εν ασυγχύτω ενώσει σαρκούμενος, και Σταυρόν εκουσίως υπέρ ημών καταδεξάμενος, δι' ου αναστήσας τον πρωτόπλαστον,έσωσεν εκ θανάτου τας ψυχάς ημών.

Απόλυσις.

## ΟΡΘΡΟΣ

Μετά την α' στιχολογίαν,

κάθισμα. Ήχος α' . Τον τάφον Σου Σωτήρ.

Χριστώ παρεστηκώς, τω παντάνακτι Σώζον, χιτώνα πορφυρούν, εξ οικείων αιμάτων, βαφέντα πανεύφημε, φέρων κλίνον ευήκοον, ους τοις πάντοτε, σου δεομένοις και σώσον, ταις πρεσβείαις σου, εκ της δουλείας του πλάνου, Λημνίων τον σύλλογον.

Δόξα. Και νυν. Θεοτοκίον.

Πανήγυριν λαμπράν, και φωσφόρον τελούντες, Λημνίων οι χοροί, της ευσήμου ημέρας, εν η ελυτρώθημεν, της δουλείας δοξάζομεν, συν τω Σώζοντι, τω Αθλητή του Κυρίου, την πανένδοξον, αυτού μητέρα ως κόσμου, παντός παραμύθιον.

Μετά την β’ στιχολογίαν,

κάθισμα. Ήχος δ’ . Ο υψωθείς εν τω Σταυρώ.

Τους Αθλητάς του Παντοκράτορος δεύτε, ωδαίς υμνήσωμεν της Λήμνου οι δήμοι, ως πρεσβευτήν θερμότατον ημών προς Θεόν, πόθω ανακράζοντες· Σώζον πρόφθασον ρύσαι, άπαντας εκ θλίψεως και δεινών αλγηδόνων, ως εκ δουλείας έσωσας πικράς, την νήσον ταύτην, την σοι καταφεύγουσαν.

Δόξα. Και νυν. Θεοτοκίον.

Θεόν τον άχρονον εν χρόνω Παρθένε, δι’ αγαθότητα πολλήν τον δεχθέντα, λαβείν σαρκίον βρότειον εν τη ση γαστρί, άφθορε εβάστασας της προμήτορος Εύας, την αράν διώξασα και θεώσασα γένος, των χοϊκών διο σε ως ημών, της σωτηρίας, τιμώμέν σε πρόξενον.

Μετά τον Πολυέλεον, κάθισμα. Ήχος γ’ . Την ωραιότητα.

Ταις σαις εντεύξεσι, καμφθείς ο Κύριος, οπλίτα ένδοξε, ημάς ερρύσατο, εκ της δουλείας των εχθρών, ελεύθερον Λήμνω ήμαρ, ανατείλας όθεν σοι, χαριστήριον αίνεσιν, άδοντες δοξάζομεν, τον εν μάχαις κρατύναντα, σε κράζοντες φωνή στεντορεία· χαίρε Μαρτύρων κλέος Σώζον.

Δόξα. Και νυν. Θεοτοκίον.

Την σκοτισθείσάν μου, ψυχήν καταύγασον, φωτί της χάριτος, του θείου Τόκου σου, αγνή Παρθένε Μαριάμ, ελπίς των απηλπισμένων, και αχλύν απέλασον, των απείρων πταισμάτων

μου, όπως εύρω έλεος, εν τη ώρα της Κρίσεως, και πόθω ασιγήτως βοώ σοι· χαίρε η Κεχαριτωμένη.

Οι Αναβαθμοί· το α’ αντίφωνον του δ’ ἤχου.

Προκείμενον: Θαυμαστός ο Θεός, εν τοις Αγίοις Αυτού.

Στ.: Τοις Αγίοις τοις εν τη γη Αυτού, εθαυμάστωσεν ο Κύριος.

Ευαγγέλιον· το εν τω Όρθρω του Αγίου Γεωργίου.

Ο Ν ψαλμός.

Δόξα: Ταις του Αθλοφόρου...

Και νυν: Ταις της Θεοτόκου...

Ιδιόμελον. Ήχος β’ . Στ.: Ελεήμον, ελέησόν με ο Θεός...

Εγκαυχωμένη ταις αριστείαις σου, και αγαλλομένη τη ση αόκνω προστασία, η εν Λήμνω Ορθόδοξος ομήγυρις, πιστώς πανηγυρίζει Σώζον πάνσεπτε, αυτής τα ελευθέρια, ως ουν έχων παρρησίαν προς Κύριον, δυσώπει αεί ειδωλολατρών ολετήριον, φυλάττεσθαι την νήσον ταύτην, εκ των της Άγαρ παμμιάρων εκγόνων δεόμεθα.

Είτα οι Κανόνες· της Θεοτόκου, και του Αγίου, ου η ακροστιχίς: Σώζοντα Λήμνου προστάτην, επαξίως άδω. Χ(αραλάμπους).

Ωδή α’ . Ήχος πλ. δ’ . Υγράν διοδεύσας.

Σοφίαν και λόγον θεοφιλή, στερρόψυχε Μάρτυς, τω ικέτη σου δαψιλώς, παράσχου του μέλψαι σε αξίως, ταις σαις δεήσεσιν Σώζον προς Κύριον.

Ως πρόμαχον ρύστην και αρωγόν, ταχύν σε κατέχει, των Λημνίων θαυματουργέ, η νήσος και σπεύδει καθ' εκάστην, ταις προς Θεόν θείε Σώζον πρεσβείαις σου.

Ζοφώδη δουλείαν Αγαρηνών, απήλασας Μάρτυς, ταις προς Κύριον σαις λιταίς, και Λήμνου ελύτρωσας την νήσον, την ευφημούσάν σε Σώζον εκ θλίψεων.

Οφθείς αθλοφόρων υπογραμμός, και χάριν πρεσβεύειν, τω παντάνακτι ειληφώς, διάσωζε πάντας τους τιμώντας, την φωτοφόρον σου Σώζον ενάθλησιν.

Θεοτοκίον.

Ναός και παλάτιον παμφαές, του Παμβασιλέως, χρηματίσασα Μαριάμ, καμέ θείου Πνεύματος γενέσθαι, κατοικητήριον Άνασσα πρέσβευε.

Ωδή γ' . Ουρανίας αψίδος.

Του Σταυρού τη δυνάμει θωρακισθείς έτρωσας, τον εχθρόν και νίκης στεφάνους, Σώζον απείληφας, διο και πάντες ημείς, οι κεκτημένοι προστάτην, σε απαύστως άδομεν, την καρτερίαν σου.

Αγιότευκτον πέλων του Λυτρωτού τέμενος, εις ναόν αθέων εισήλθες, Σώζον και άγαλμα, χρυσούν συντρίψας ευθύς, της αμαρτίας δεσμούς μου, θραύειν χάριν είληφας, Μάρτυς αήττητε.

Λαμπρυνθείς ευσεβείας μαρμαρυγαίς ένδοξε, Σώζον και σκοτόμαιναν πλάνης, όμβροις αιμάτων σου, μειώσας φως τοις πιστοίς, τοις σε τιμώσιν επώφθης, και Λημνίων έκλαμπρος, φάρος εν κλύδωσι.

Θεοτοκίον.

Η Θεόν απορρήτως τον Πλαστουργόν τέξασα, και μετά τον τόκον Παρθένος, άφθορος μείνασα, αξίωσόν με φυγείν, τας του εχθρού μεθοδείας, και προς ύψος έλκυσον, θείον τον δούλόν σου.

Κάθισμα. Ήχος δ’ . Ταχύ προκατάλαβε.

Ναός τιμαλφέστατος του Βασιλέως Χριστού, υπάρχων πανόλβιε, εις τον ειδώλων ναόν, εισήλθες και έθραυσας, θεία ισχύϊ χείρα, του αγάλματος νέμων, θραύσματα του χρυσίου, τοις πτωχοίς διο Σώζον, υπήνεγκας φρικτούς κολασμούς, καρτερικώτατα.

Δόξα. Και νυν. Θεοτοκίον.

Θεόν τον αχώρητον τη κτίσει πάση αγνή, υπέρ νόμων φύσεως, εν τη νηδύϊ τη ση, εχώρησας όθεν σε, πάσαι αι των μερόπων, μακαρίζουσι τάξεις, και ταις θερμαίς ευχαίς σου, εν δεινοίς τοις του βίου, προστρέχουσι Κυρία σεμνή, Θεογεννήτρια.

Ωδή δ’ . Εισακήκοα Κύριε.

Μνήμην άγουσα σήμερον, την σεπτήν σου Λήμνος η νήσος γάννυται, και προστρέχει τη ση χάριτι, Σώζον Αθλοφόρε τρισμακάριστε.

Νυν τους άθλους σου σέβοντες, και την παρρησίαν σου Σώζον άδοντες, καταφεύγομεν τη σκέπη σου, οι χοροί Λημνίων εν ταις θλίψεσιν.

Ο τοξεύσας τοις βέλεσι, της υπομονής σου εχθρόν τον δόλιον, Σώζον σύντριψον την δύναμιν, και του πολεμούντός με αλάστορος.

Θεοτοκίον.

Υπεράγιον σκήνωμα, του Παμβασιλέως και Παντοκράτορος, την καρδίαν μου εξάγνισον, και αγίασόν με ταις πρεσβείαις σου.

Ωδή ε' . Φώτισον ημάς.

Πίστει οι χοροί, των Λημνίων καταφεύγοντες, τη θερμή σου Μάρτυς Σώζον αρωγή, διασώζονται και νόσων απαλλάττονται.

Ρείθροις Αθλητά, των καμάτων σου αρδόμενοι, οι τιμώντές σε προσάγομεν Χριστώ, αρετής καρπόν πολύχουν θεοστήρικτε.

Όπλοις ανδρικοίς, των απίστων θράσος έλυσας, υπομείνας της σαρκός σου εκκοπήν, και οστέων σου την θραύσιν Σώζον ένδοξε.

Θεοτοκίον.

Σκίρτα ω λαέ, των Λημνίων και ανύμνησον, την του Σώζοντος του Μάρτυρος χαράν, και Μητέρα του Θεού την υπερύμνητον.

Ωδή στ' . Την δέησιν.

Τω λύσαντι, των αθέων φρύαγμα, ενισχύσει του Σωτήρος των όλων, και τη αυτού ευδοκία την Λήμνον, εκ των της Άγαρ εκγόνων λυτρώσαντι, νικητηρίου νυν ωδάς,χαίρε Σώζον βοώντες προσάξωμεν.

Αιμάτων σου, οι κρουνοί οι ρεύσαντες, δια πίστιν του Χριστού την αγίαν, έσβεσαν πυρ των ειδωλομανούντων, και ευσεβών τας καρδίας ανέψυξαν, των μελωδούντων σου αεί, Μάρτυς Σώζον την θείαν ενάθλησιν.

Τρισόλβιε, ύμνον νικητήριον, σοι προσάγουσιν Λημνίων οι δήμοι, ότι εβράβευσας τούτοις ω Σώζων, ήμαρ ελεύθερον πόρρω την

μάστιγα, διώκων των Αγαρηνών, την αυτούς χρόνους πλείστους εκθλίβουσαν.

Θεοτοίον.

Ηγίασεν, ο Χριστός σε Άχραντε, εν τη μήτρα σου δεχθείς ενοικήσαι, και το ανθρώπινον ηύφρανε γένος, το εκ φθοράς αναχθέν και προς θέωσιν, οδηγηθέν δια του σου, θείου τόκου Μητρόθεε πάναγνε.

Κοντάκιον. Ήχος γ' . Επεφάνης σήμερον.

Τω Χριστώ προσήγαγες, σαυτόν θυσίαν, Αθλητά περίδοξε, και ολοκάρπωμα σεπτόν, ανδραγαθήσας ως άριστος, Αυτού οπλίτης, λαμπρέ Σώζον πάνσοφε.

Ο Οίκος.

Χαριστηρίους ωδάς προσάγουσα η των Λημνίων νήσος, τω πολυευσπλάγχνω Κυρίω, εν τη ευσήμω ημέρα των αυτής ελευθερίων, εκ των της Άγαρ εκγόνων, χαίρει και πανοικί αγάλλεται. Προστάτην ουν πλουτούσα τον πολύαθλον Σώζοντα, και πρόξενον αυτόν οιομένη, της εκ δουλείας λυτρώσεως, η νήσος ταύτη τιμά τους αυτού καμάτους, και γεραίρουσα αυτόν ευλαβώς κραυγάζει· Χαίρε λαμπρέ Σώζον πάνσοφε.

Συναξάριον.

Τη Η' του αυτού μηνός, η των Λημνίων νήσος άγουσα τα εαυτής ελευθερία, τιμά την μνήμην του ενδόξου Μάρτυρος Σώζοντος, ου ταις αόκνοις δεήσεσι καμφθείς ο πολυεύσπλαγχνος Κύριος, εξεδίωξε τα των Αγαρηνών στίφη.

Σώζοντα μέλπει ωδάς Λήμνος ως ρύστην,
εκ συμφορών και αλλοθρήσκων δουλείας.

Ωδή ζ’ . Παίδες Εβραίων.

Νύκτα εδίωξας δουλείας, εκ της νήσου των Λημνίων ταις λιταίς σου, και ημέραν λαμπράν, αυτή ελευθερίας, εδώρησας φωτόλαμπρε, Σώζον Μάρτυς του Υψίστου.

Έχει σε πρόβολος η Λήμνος, μάκαρ Σώζον αρωγόν και παραστάτην, εν δειναίς συμφοραίς, διο σε μακαρίζει, την θείαν σου ενάθλησιν, ανυμνούσα γηθοσύνως.

Πρόξενον της των αλλοπίστων, συντριβής σε Σώζον Μάρτυς οιομένη, η Λημνίων κλεινή, ομήγυρις βοά σοι· ημών στερρόν προπύργιον, ασφαλείας συ υπάρχεις.

Θεοτοκίον.

Άφλεκτε βάτε του Σιναίου, απαθείας σωστικόν πυρ άναψόν μοι, και πταισμάτων πολλών, κατάφλεξον ακάνθας, Παρθένε θεοτίμητε, ίνα μέλπω σε απαύστως.

Ωδή η’ . Τον Βασιλέα.

Ξενοδοχήσαι, ημάς εν πόλω δυσώπει, τον φιλάνθρωπον Σωτήρα μετά πότμον, Σώζον θεοφόρε, εναθλουμένων βίβλε.

Ισχύϊ θεία, εχθρού απίστου παν θράσος, Σώζον ήμβλυνας διο και παρρησίαν, εύρες προς τον Κτίστην, υπέρ ημών πρεσβεύειν.

Ώσπερ ακρίδων, εσμόν υιούς τους της Άγαρ, απεδίωξας τη ράβδω πρεσβειών σου, εκ της νήσου Λήμνου, σημειοφόρε Σώζον.

Θεοτοκίον.

Σε ικετεύω, τας απρεπείς ενθυμήσεις, Μαριάμ της εναγούς μου διανοίας, ταις σαις ασιγήτοις, αγίασον πρεσβείαις.

Ωδή θ' . Κυρίως Θεοτόκον.

Αμνών ποιμήν υπάρχων, ως αμνός τω Κτίστη, και λογικόν ιερείον πανένδοξε, εκών προσήχθης ω Σώζον, στερρέ γηθόμενος.

Δικαίων ταις χορείαις, ως Λιβάνου κέδρος, νυν εν Εδέμ τοις λειμώσιν εξήνθησας, και πάντας Σώζον μυρίζεις, οσμαίς χαρίτων σου.

Ως παρρησίαν έχων, Σώζον προς τον Κτίστην, αυτόν δυσώπει τηρείσθαι αχείρωτον, την νήσον Λήμνον προστάτην, ωσεί γεραίρουσαν.

Θεοτοκίον.

Χριστόν τον Ζωοδότην, Μήτερ γλυκυτάτη, ταις ικεσίαις του Σώζοντος τήρησον, εκ πάσης πλάνης ατρώτους, τους ανυμνούντάς σε.

Εξαποστειλάριον. Ήχος β' . Γυναίκες ακουτίσθητε.

Μαρτύρων τον αήττητον, οπλίτην θείον Σώζοντα, τον του Κυρίου δυνάμει, θωρακισθέντα και πλάνων, τροπώσαντα τας φάλαγγας, τιμήσωμεν κραυγάζοντες, συν τοις Λημνίων τάγμασιν· ημών προστάτις και ρύστης, εκ συμφορών μάκαρ πέλεις.

Θεοτοκίον.

Τη σκέπη σου προστρέχοντες, υπέρμαχε Παντάνασσα, αγιωτέρα Αγγέλων, και στρατηγών υπερτέρα, εν ταις του πολεμήτορος,

εφόδοις θείαν δύναμιν, και αρωγήν λαμβάνομεν, βοώντες· Χαίρε ειρήνης, αδιατάρακτον τείχος.

Αίνοι. Ήχος α’ . Των ουρανίων ταγμάτων.

Της νήσου Λήμνου οι δήμοι, σήμερον τέρπονται, και εν αγαλλιάσει, Μάρτυς Σώζον βοώσι· δουλείας ελυτρώσω Αγαρηνών, της μακράς ικεσίας σου, αδιακόποις προς Κτίστην ταις σαις ημάς, τους ωδαίς σε καταστέφοντας.

Εκλαμπροτέραν χρυσίου, παντός πανεύφημε, έχων ψυχήν εισήλθες, εις ναόν των ειδώλων, και άγαλμα χρυσότευκτον θεϊκόν, Σώζον μάκαρ κατέστρεψας, γενναιοφρόνως διόπερ και Αθλητών, την οδόν ασμένως ήνυσας.

Ανταμοιβήν των σων πόνων, και των αιμάτων σου, των εκροών θεόφρον, Σώζον πάντιμε εύρες, βασίλεια τα άνω εν ουρανοίς, συν Χριστώ ευφραινόμενος, και μνημονεύων των πίστει την ιεράν, γεραιρόντων σου ενάθλησιν.

Η νήσος Λήμνος χορεύει, επί τη δόξη σου, τιμώσα γηθοσύνως, την αγίαν σου μνήμην, και πόθω κατασπάζεται την σορόν, των αγίων λειψάνων σου, τω Λυτρωτή αναπέμπουσα εν χορώ, χαριστήριον μελώδημα.

Δόξα. Ήχος πλ. δ’ .

Ταις του Παρακλήτου μαρμαρυγαίς, καταλαμφείς την καρδίαν, σωστήρ ανδρείας ανέσπερος ώφθης, Σώζον αήττητε. Ταις γαρ φωτοφόροις ακτίσί σου, απίστων την σκοτίαν εξεδίωξας, και φωτί αυτούς αληθείας κατηύγασας. Παρρησίαν ουν έχων προς Κύριον,

σώσον ημάς εκ των παγίδων του εχθρού, και εν ελευθερία πάντας τήρησον.

Και νυν. Θεοτοκίον.

Δέσποινα πρόσδεξαι, τας δεήσεις των δούλων Σου, και λύτρωσαι ημάς, από πάσης ανάγκης και θλίψεως.

Δοξολογία Μεγάλη και Απόλυσις.

## ΕΝ ΤΗ ΛΕΙΤΟΥΡΓΙΑ

Τα τυπικά, οι Μακαρισμοί, και εκ του Κανόνος του Αγίου η γ' και στ' ωδή.

Απόστολος, της Τρίτης της Ζ' ἑβδομάδος.

Ευαγγέλιον, της Παρασκευής της Ζ' ἑβδομάδος.

Κοινωνικόν: Εις μνημόσυνον αιώνιον έσται δίκαιος. Αλληλούϊα.

Μεγαλυνάριον.

Τον ποιμενικόν σου αυλόν φαιδρώς, παίζων Μάρτυς Σώζων, προσεχώρησας Αθλητών, τοις χοροίς εν πόλω, και προς Χριστόν μεσίτης, ημών των σε τιμώντων, ώφθης πιστότατος.

